βοῦν, εἰ βαρῶ σου τὸν τένοντα ἀναχωρήσω. Ὁ δὲ ἔφη, Οὔτε ὅτε ἦλθες, ἔγνων[21], οὔτε ἐὰν μένῃς, μελήσει μοι[22].

### ΚΟΧΛΙΑΙ.

Γεωργοῦ παῖς ὤπτα κοχλίας. Ἀκούσας δὲ αὐτῶν[23] τριζόντων, ἔφη· Ὦ κάκιστα ζῶα, τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων[24], αὐτοὶ[25] ᾄδετε.

### ΛΑΓΩΟΙ.

Λαγωοί ποτε πολεμοῦντες ἀετοῖς[26], παρεκάλουν εἰς συμμαχίαν ἀλώπεκας. Αἱ δ' ἔφασαν[27]· Ἐβοηθήσαμεν ἂν ὑμῖν, εἰ μὴ ᾔδειμεν[28], τίνες ἐστὲ, καὶ τίσι πολεμεῖτε.

### ΕΡΙΦΟΣ καὶ ΛΥΚΟΣ.

Ἔριφος ἐπί τινος δώματος ἑστὼς[29], ἐπειδὴ λύκον παριόντα[30] εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν. Ὁ δὲ λύκος ἔφη· Ὦ οὗτος[31], οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος.

### ΚΑΡΚΙΝΟΣ καὶ ΑΛΩΠΗΞ.

Καρκῖνος ἀπὸ θαλάσσης ἀναβὰς ἐπί τινος ἐνέμετο[32] τόπου. Ἀλώπηξ δὲ λιμώττουσα, ὡς ἐθεάσατο[33], προσελθοῦσα ἀνέλαβεν[34] αὐτόν. Ὁ δὲ μέλλων καταβιβρώσκεσθαι, ἔφη· ἀλλ' ἔγωγε δίκαια πέπονθα! ὅς[35], θαλάττιος ὢν, χερσαῖος ἠβουλήθην γενέσθαι.

### ΓΥΝΗ καὶ ΟΡΝΙΣ.

Γυνή τις χήρα ὄρνιν εἶχε, καθ' ἑκάστην ἡμέραν ᾠὸν αὐτῇ τίκτουσαν[36]. Νομίσασα[37] δὲ, ὡς, εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλοι[38], δὶς τέξεται τῆς ἡμέρας[39], τοῦτο πεποίηκεν. Ἡ δ' ὄρνις πιμελὴς γενομένη[37], οὐδ' ἅπαξ τῆς ἡμέρας τεκεῖν[40] ἠδύνατο.

### ΑΛΩΠΗΞ καὶ ΒΟΤΡΥΣ.

Βότρυας πεπείρους ἀλώπηξ κρεμαμένους[36] ἰδοῦσα[37], τούτους ἐπειρᾶτο καταφαγεῖν. Πολλὰ δὲ καμοῦσα, καὶ μὴ δυνηθεῖσα ψαῦσαι, τὴν λύπην παραμυθουμένη, ἔλεγεν· Ὄμφακες ἔτι εἰσίν.

### ΠΑΙΣ ΛΟΥΟΜΕΝΟΣ.

Παῖς λουόμενος[41] ἐν ποταμῷ ἐκινδύνευε πνιγῆναι[42]· καὶ ἰδών τινα παροδίτην, ἐπεφώνει, Βοήθησον. Ὁ δὲ ἐμέμφετο τῷ παιδὶ[43] τολμηρίαν. Τὸ δὲ παιδίον εἶπεν· Ἀλλὰ νῦν μοι βοήθησον, ὕστερον δὲ σωθέντα[44] μέμφου.

### ΧΕΛΩΝΗ καὶ ΑΕΤΟΣ.

Χελώνη ἀετοῦ ἐδεῖτο, ἵπτασθαι αὐτὴν διδάξαι[45]. Τοῦ δὲ παραινοῦντος[46], πόῤῥω τοῦτο τῆς φύσεως[47] αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέ-

---

21) Γιγνώσκω. 22) Κ. §. 346, β'. 23) Κ. §. 337, ά. 24) Ἐμπίπρημι. Κ. §. 434. 25) Δηλ. ὑμεῖς αὐτοὶ, σεῖς. 26) Κ. §. 346 ά. 27) Φημί. 28) Οἶδα. Λ. Σ. ἴδε καὶ 14. 29) Ἵστημι. 30) Πάρειμι. 31) Ὦ σύ. Λ. Σ. 32) Ἔβοσκε. 33) Αὐτόν. 34) Τὸν ἥρπασε. 35) Ἐγὼ ὅς. 36) Κ. §. 432, Α'. 37) Κ. §. 432 β'. 38) Κ. §. 403, ά. 39) Κ. §. 449 δ'. 40) Τίκτω. 41) Κ. §. 432, Ε'. 42) Τελ. ἀπαρέμφ. νὰ π. 43) Κ. §. 446, ά. καὶ §. 358. 44) Κ. §. 347, γ'. 45) Διδάξαι αὐτὴν ἵπτασθαι, τελ. ἀπαρέμφ. 46) Κ. §. 434. 47) Κ. §. 449, ά. ἐναντίον εἰς τὸ φυσικόν της.